## ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Πένθιμον ἡνίκα παιδὶ πολυξείνης ὑμέναιον
Ἤνυσεν ὀγκωτοῦ πύῤῥος ὕπερθε τάφου,
Ὡ δὲ πολυκλαύστοιο κόμας λακίσασα καρήνου
Κισσηΐς τεκέων κλαῦσε φόνους ἑκάβη.
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας ἕκτορα δεσμοῖς,
Νῦν δὲ πολυξείνης αἷμα δέχῃ φθίμενος
Αἰακίδη. τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδύν;
Παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

## ΑΝΤΙΦΙΛΟΥ.

α Πορφυρέαν τι τάνδε λεωνίδᾳ ὤπασε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τεᾶς ἀρετᾶς.
β Οὐ δέχομαι· προδόταις αὕτα χάρις. ἀσπὶς ἔχει με
Καὶ νέκυν· ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
α Ἀλλ' ἔθανες. τί τοσόνδε καὶ ἐν νεκύεσσιν ἀπεχθὴς
Πέρσαις; β οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

## ΑΒΒΙΑΝΟΥ.

Εἰ μὲν τοῦ ἀπὸ ἄλφα μόνους κέκεληκας κατορύσσειν
Λούκιε βουλευτὰς, καὶ τὸν ἀδελφὸν ἔχεις.
Εἰ δ' (ὅπερ εὔλογόν ἐστι) κατὰ στοιχεῖον ὁδεύεις,
Ἤδη σοι προλέγω ὠριγένης λέγομαι.